## VI

τὸν Μουσῶν τέττιγα Πόθος δήσας ἐπ' ἀκάνθαις
  κοιμίζειν ἐθέλει πῦρ ὑπὸ πλευρὰ βαλών·
ἡ δὲ πρὶν ἐν βύβλοις πεπονημένη ἄλλ' ἀθερίζει
  ψυχή, ἀνιηρῷ δαίμονι μεμφομένη.

## VII

εὐοπλῶ καὶ πρὸς σὲ μαχήσομαι, οὐδ' ἀπεροῦμαι
  θνητὸς ἐών· σὺ δ', Ἔρως, μηκέτι μοι πρόσαγε.
ἤν με λάβῃς μεθύοντ', ἄπαγ' ἔκδοτον, ἄχρι δὲ νήφω
  τὸν παραταξάμενον πρὸς σὲ λογισμὸν ἔχω.

## VIII

ἃ Κύπρον ἅ τε Κύθηρα καὶ ἃ Μίλητον ἐποιχνεῖς
  καὶ καλὸν Συρίης ἱπποκρότου δάπεδον,
ἔλθοις ἵλαος Καλλιστίῳ, ἣ τὸν ἐραστὴν
  οὐδέποτ' οἰκείων ὦσεν ἀπὸ προθύρων.

## IX

Ναννοῦς καὶ Λύδης ἐπίχει δύο καὶ φιλεράστου
  Μιμνέρμου καὶ τοῦ σώφρονος Ἀντιμάχου·
συγκέρασον τὸν πέμπτον ἐμοῦ, τὸν δ' ἕκτον ἑκάστου,
  Ἡλιόδωρ', εἴπας ὅστις ἐρῶν ἔτυχεν.
[ἕβδομον Ἡσιόδου, τὸν δ' ὄγδοον εἶπον Ὁμήρου,
  τὸν δ' ἔνατον Μουσῶν, Μνημοσύνης δέκατον.]
μεστὸν ὑπὲρ χείλους πίομαι, Κύπρι, †τἄλλα δ' Ἔρωτες
  νήφοντ' οἰνωθέντ' οὐχὶ λίην ἄχαριν†.